CHR. Ποτ᾽ ἀγκαλά.] An πότνια καλά vt ad A deam referatur, an ποτ᾽ ἀγκαλά, ad res egregias & pulcra facinora, πρὸς τὰ καλὰ ἔργα, an potius κᾶλα sunt ligna, vt per ea naues intelligantur secundùm responsum oraculi quod ligneos muros iubebat ædificare? μᾶλλον τοῦτο ἢ ἐκεῖνο. Κάπρως θάγοντας.] Sic etiam de apro Philippus dixit in 4. lib. Florilegij Epigrammatarij θηκτὸν ὀδόντα βρύχοντα, nisi mea me fefellit coniectura quæ pro θηκτὸν reposuit θηκτὸν in Epigrammate Philippi. Τὰς ψάμμας τοὶ Πέρσαι.] Erant, inquit, Persæ (Medos vocat Thucydides, sed Medorum nomine Persæ innuuntur vel teste Horatio, Neu sinas Medos &c.) innumerabiles instar arenæ, ψαμμίων enim puto esse ψάμμον vel ψάμαθον, aliàs significat ἄλφιτα. Hoc autē loco ἦν γὰρ τ᾽ positum ἦν puto pro ἦσαν.

Καὶ τᾶν αἰμυλᾶν ἀλωπέκων
Παυσαίμεθ᾽ ὦ
Δεῦρ᾽ ἴθι δεῦρ᾽ ὦ
Κυναγὲ παρσένε.
Λυ. Ἄγε νῦν ἐπειδὴ τἄλλα πεποίηται καλῶς
Ἀπάγεσθε ταύτας ὦ Λάκωνες. τάσδε τε
Ὑμεῖς. ἀνὴρ δὲ παρὰ γυναῖκα καὶ γυνὴ
Στήτω παρ᾽ ἄνδρα. κᾆτ᾽ ἐπ᾽ ἀγαθαῖς συμφοραῖς
Ὀρχησάμενοι θεοῖσιν, εὐλαβώμεθα
Τὸ λοιπὸν αὖθις μὴ ξαμαρτάνειν ἔτι.
Πρόσαγε χορόν. ἔπαγε Χάριτας.
Ἐπὶ δὲ κάλεσον Ἄρτεμιν.
Ἐπὶ δὲ Δίδυμον ἄγε χορὸν ἰήϊον
Εὔφρον᾽ ἐπὶ δὲ Νύσιον.
Ὃς μετὰ Μαινάσι βάκχιος ὄμμασι
Δαίεται.
Δία τε πυρὶ φλεγόμενον
Ἐπί τε πότνιαν ἄλοχον ὀλβίαν.
Εἶτα δὲ δαίμονας οἷς ἐπιμάρτυσι
Χρησόμεθ᾽ οὐκ ἐπιλήσμοσιν
Ἡσυχίας πέρι τῆς μεγαλόφρονος.
Ἣν ἐποίησε θεὰ Κύπρις.
Ἀλαλαὶ ἰὴ παιήων.
Αἴρεσθ᾽ ἄνω ἰαί.
Ὡς ἐπὶ νίκῃ ἰαί.
Εὐοῖ εὐοῖ. εὐαὶ εὐαί.
Λάκων πρόφαινε δὴ σὺ μοῦσαν
Ἐπὶ νέα νέαν.

B Quin & desinamus volpium
Fallacium, ô
Huc agedum adsis
Canum ô virago dux.
LVS. Age ergo quando bellè habent se cætera
Abducite illas ô Lacones, hasque vos:
C Vir fœminæ adstet, & viro adstet fœmina:
Exinde Diuis ritè perfecta simul
Saltatione, quod quidem vortat benè,
Porrò cauendum est ne quod erratum fiet.
Age statue chorum, age Charitas,
Iterum & age, voca Artemin,
Etiam age, chorum Icion age Didymum
D Lenificum, age Nysiam.
Cuique micantia cum Mænadum choro
Lumina, i-
gneque rutilum age Iouem, age,
Pariter inclytam sobole coniugem,
Indigetesque deos quibus vtimur
Testibus hic meminentibus.
Pacis ad ardua consilia optima
Quam dea constituit Cypris.
E Alalæ io Pæana
Extollite altum, io
Victor vt omnis abis.
Euæ Euæ, Euæ Euan.
Age effer ergo cantilenam
Laco nouissimam.

BISETVS. Τᾶν αἰμυλᾶν.] τῶν αἱμύλων. αἱμύλος, ἀστεῖος, συνετός, ὀξὺς ἐν τῷ λέγειν, κόλαξ, ἀπατεών. αἵμυλος δὲ, ὅθεν καὶ αἱμύλιος δασύνεται κοινῶς, ἐκ τοῦ παρὰ τὸ αἷμα παράγεται. αἱμύλιοι λόγοι, οἱ τοῦ αἵματος ἀπτόμενοι. τῶν δὲ Αἰολέων ἐστὶ ψιλοῦν τὰ κοινῶς δασυνόμενα. οἱ δὲ Δωριεῖς καὶ αὐτοὶ τῇ δασυνομέναις λέξεσι χρῆσθαι φαίνονται. Ἄγε νῦν.] ἡ Λυσιστράτη τῶν πραγμάτων αὐτῇ κατὰ γνώμην καλῶς χωρησάντων, ὅτι τοῦ αὐτῆς συμβουλαῖς, καὶ λόγοις οἱ Ἀθηναῖοι διαλλαγὰς πρὸς τοὺς Λάκωνας ἐποίησαν, πάντας τοῖς θεοῖς τούτων χάριν εὐχαριστῆσαι, καὶ θείας εὐνοίας ὕμνους ὑμνεῖν, καὶ ἕκαστον ἄνδρα τὴν αὐτοῦ γυναῖκα οἴκαδε ἀπάγειν, καὶ μετὰ ταύτης εἰρηναίως εἰς τὸ λοιπὸν ζῆν, καὶ μηδεμίαν καινῆς προσκρούσεως ἀφορμὴν ἀλλήλοις παρέχειν κελεύει. Ἀπάγεσθε ταύτας.] ἅμα ταῦτα λέγουσα ἡ Λυσιστράτη, τοῖς τε Ἀθηναίοις, καὶ τοῖς Λάκωσι ἰδίας γυναῖκας κατὰ μόνας παραδίδωσι. συμφοραῖς δὲ, τύχαις.

CHR. Ἐπ᾽ ἀγαθαῖς συμφοραῖς.) Nomen

συμφορᾶς est τῶν μέσων, sic Alcæus dixit ἐπ᾽ ἐσθλῇ συμφορᾷ id est ἀγαθῇ τύχῃ. Æschylus etiam in A-
F gamemnone dixit συμφορᾶς χάριν, id est, εὐτυχίας.

BISETVS. Ἐπὶ δὲ Δίδυμον.) Δίδυμον ἐπιθετικῶς, καὶ κατ᾽ ἀντονομασίαν αὐτὸν τὸν Φοῖβον καλεῖ, τὸν καὶ Διδυμάονα, ὅτι ἡ Λητώ, τῷ αὐτῷ τόκῳ τὸν Ἀπόλλωνα, καὶ τὴν Ἄρτεμιν διδύμους, ἢ διδυμάονας ἔτεκεν. ἀπὸ δὲ τοῦ δύο γίνεται δύμος, ὅθεν δίδυμος ἐν συνθέσει μετὰ τοῦ δὶς ἀριθμητικοῦ ἐπιρρήματος. διαφέρει δὲ δίδυμος τοῦ διδυμάονος. δίδυμοι γὰρ οἱ διπλοῖ, ἢ συμφυεῖς τοῖς σώμασιν, ὁποῖοι μυθεύονται οἱ Ἀκτορίωνες. καὶ ἁπλῶς οἱ δύο. καὶ δίδυμοι, οἱ ὄρχεις ὁμωνύμως. διδυμάονες δὲ, οἱ κε-
G χωρισμένοι τοῖς σώμασιν. Εὐστ. Ἰήϊον.) ἰήϊος, δασέως μὲν ὁ Ἀπόλλων, ἀπὸ τῆς ἀφέσεως, καὶ τοξείας. τουτέστιν ὁ τοξότης. ψιλῶς δὲ, ἀπὸ τῆς ἰάσεως. ἰατρὸς γὰρ ὁ θεός. ἀλλὰ περὶ τούτου τοῦ ἐπιθέτου, διὰ πλειόνων ἐν τοῖς ἄνω προείρηται. τινὲς Ἴξιον γράφουσι, παρὰ τὸ Ἰξίαι, ὅπερ κατὰ τὸν Στέφανον, πληθυντικῶς χωρίον τῆς Ῥόδου, ἀπὸ Ἰξοῦ λιμένος, ὅθεν